περήσῃ τὸν ☉ ἢ τὸν τοῦ κρόνου ἢ καὶ ἐπανενεχθῇ αὐτοῖς, ἢ καὶ αὐτὸς πάλιν ὁ τοῦ ♄ μὴ σύμφωνος ᾖ πρὸς τὸν ☉, ἀλλ' ἤτοι διάμετρος ἢ τετράγωνος ἀποκλίνοντες. μὲν τῶν κέντρων ἀσθενικοὺς μόνους τοὺς πατέρας ποιοῦσιν· ἐπίκεντροι δὲ ἢ ἐπαναφερόμενοι τοῖς κέντροις ὀλιγοχρονίους ἢ ἐπισινεῖς. ὀλιγοχρονίους μὲν, ὅταν ἐν τοῖς πρώτοις ὦσι δυσὶ κέντροις, τῷ τε ἀνατέλλοντι καὶ τῷ μεσουρανοῦντι, καὶ ταῖς τούτων ἐπαναφοραῖς. ὁ μὲν γὰρ τοῦ ♂ τὸν ☉ βλέψας καθ' ὃν εἰρήκαμεν τρόπον, αἰφνιδίως ἀναιρεῖ τοὺς πατέρας ἢ σίνη περὶ τὰς ὄψεις ποιεῖ, τὸν δὲ τοῦ ♄ βλέψας ἢ θανάτοις ἢ ῥιγοπυρέτοις ἢ σίνεσι διὰ τομῶν καὶ καύσεων περικυλίει. ὁ δὲ τοῦ ♄ καὶ αὐτὸς κακῶς σχηματισθεὶς πρὸς τὸν ☉ καὶ τοὺς θανάτους τοὺς πατρικοὺς ἐπινόσους κατασκευάζει, καὶ πάθη τὰ διὰ τῆς τῶν ὑγρῶν ὀχλήσεως. ἐπὶ δὲ τῆς μητρὸς ἐὰν μὲν ὁ τοῦ ♃ συσχηματισθῇ τῇ τε ☾ καὶ τῷ τῆς ♀ ὁπωσδήποτε, ἢ καὶ αὐτὸς ὁ τῆς ♀ συμφώνως ἔχῃ πρὸς τὴν ☾ ἑξάγωνος ἢ τρίγωνος ἢ συνὼν αὐτῇ, ἐν δυνάμει ὄντες πολυχρόνιον δεικνύουσι τὴν μητέρα. ἐὰν δὲ ὁ τοῦ ♂ βλέψῃ τὴν ☾ ἢ τὸν τῆς ♀ ἐπανενεχθεὶς ἢ καὶ τετραγωνίσας ἢ καὶ διαμετρήσας, ἢ ἔτι ὁ τοῦ ♄ τὴν ☾ μόνην ὡσαύτως, ἀφαιρετικοὶ μὲν ὄντες ἢ ἀποκεκλικότες πάλιν ἀτυχήμασι μόνον ἢ ἀσθενείαις περικυλίουσι· προσθετικοὶ δὲ ἢ ἐπίκεντροι ὀλιγοχρονίους ἢ ἐπισινεῖς ποιοῦσι τὰς μητέρας. ὀλιγοχρονίους μὲν ὁμοίως ἐπὶ τῶν ἀπηλιωτικῶν ὄντες κέντρων ἢ ἐπαναφορῶν. ἐπισινεῖς δὲ ἐπὶ τῶν δυτικῶν. ἄρης μὲν γὰρ βλέψας τὴν ☾ τοῦτον τὸν τρόπον, ἀνατολικὴν μὲν οὖσαν, τοὺς τε θανάτους τοὺς μητρικοὺς αἰφνιδίους, ἔτι τὰ σίνη περὶ τὰς ὄψεις ποιεῖ, ἀποκρουστικοὺς δὲ τοὺς θανάτους ἀπὸ ἐκτρωμῶν ἢ τῶν τοιούτων, καὶ τὰ σίνη διὰ τομῶν καὶ καύσεων. τὴν δὲ ☾ βλέψας τοὺς τε θανάτους πυρετικοὺς ἀπεργάζεται καὶ πάθη τὰ διὰ ἀποκρύφων καὶ σκοτισμῶν καὶ προσδρομῶν αἰφνιδίων. ὁ δὲ τοῦ ♄ τὴν ☾ βλέψας θανάτους καὶ πάθη ποιεῖ, ἀνατολικῆς μὲν οὔσης αὐτῆς διὰ ῥιγοπυρέτων ἀποκρουστικῆς δὲ διὰ νόσων ὑστερικῶν ἔτι ἀναβρώσεων. προσπαραληπτέον δὲ, εἰς τὰ κατὰ μέρος εἴδη τῶν σινῶν ἢ καὶ παθῶν ἢ καὶ θανάτων, καὶ τὰς τῶν δωδεκατημορίων ἐν οἷς εἰσὶν οἱ τὸ αἴτιον ποιοῦντες ἰδιοτροπίας, περὶ ὧν εὐκαιρότερον ἐν τοῖς περὶ αὐτῆς τῆς γενέσεως ἐπεργαζόμεθα, καὶ ἔτι παρατηρητέον ἡμέρας μὲν μάλιστα, τόν τε ☉ καὶ τὴν ♀, νυκτὸς δὲ τὸν τοῦ ♄. καὶ τὴν ☾ λοιπὸν δὲ ἐπὶ τῶν κατ' εἶδος ἐπεξεργασιῶν ἁρμόζον καὶ ἀκόλουθον ἂν εἴη τὸν τῆς αἱρέσεως μητρικὸν ἢ πατρικὸν τόπον ὥσπερ ὡροσκόπον ἐπισαμένους τὰ λοιπὰ ὡς ἐπὶ γενέσεως αὐτῶν τῶν γονέων σκοπεῖν κατὰ τὰς